αἰσώπου πολλοὺς διαλεγομένους, ἀνεχώρουν ἅπαντες· ὕβριν
τὸν λόγον νομίζοντες εἶναι. εἷς δὲ ἐλθὼν καὶ τῷ πυλῶνι
κρούσας, ἔφη αὐτῷ ὁ αἴσωπος, τίς εἶ ὁ κύων, ὁ δὲ φησὶ
τὴν κέρκον. ὁ δὲ αἴσωπος τοῦτον. ἀκούσας καλῶς ἀ-
πολογησάμενον, ἀνοίξας εἰσήγαγεν αὐτόν. ἀπελθὼν δὲ
πρὸς τὸν κύριον αὐτοῦ ἔφη, δέσποτα, ἕτερος φιλόσοφος
οὐκ ἦλθε τοῦ συνεστιαθῆναι σοι, εἰ μὴ οὗτος μόνος. ὁ δὲ
ξάνθος ἐλυπήθη πάνυ, δοκῶν, ὅτι παρελογίσαντο αὐ-
τόν. τῇ οὖν ἐπαύριον ἐλθόντων αὐτῶν ἐν τῇ διατριβῇ, λέ-
γουσι τῷ ξάνθῳ, καθηγητὰ, ὡς ἔοικεν ἐπιθυμῶν τοῦ ἐξουδε-
νῆσαι ἡμᾶς καὶ αἰδούμενος, ἔστησας πρὸ τοῦ πυλῶνος
τὸν σαπρὸν αἴσωπον, ὅ.. ὑβρίσῃ καὶ κύνας ἡμᾶς ἀ-
ποκαλέσῃ. καὶ ὁ ξάνθος, ὅραμα τοῦτο, ἢ ἀληθές. οἱ δὲ
σχολαστικοὶ, εἰ οὐ κοιμώμεθα, ἀλήθεια ἐστί. καὶ ὁ ξάνθος

.. reliquae litterae erant erosae. f. fuit ὅτι i. ὅπως.